θερμὰ τῶν ὑδάτων ἀκέσιμα καὶ πρὸς θεραπείαν εὐαί-
σθητα. καὶ πῦρ μὲν ὑγρὸν οὐκ ἄν τις εὕροι, ὕδωρ δ' ὡς
ψυχρὸν οὕτω καὶ θερμὸν ὠφέλιμον ἀνθρώπῳ.

7. Καὶ μὴν τεττάρων ὄντων στοιχείων τὸ ὕδωρ ἐξ
ἑαυτοῦ πέμπτον, ὡς ἄν τις εἴποι, πεποίηκε στοιχεῖον
τὴν θάλασσαν, | οὐδὲν ἧττον ἐκείνων ὠφέλιμον τῶν τ' 957
ἄλλων ἕνεκεν καὶ μάλιστα τῆς ἐπιμιξίας· ἄγριον οὖν
ἡμῶν ὄντα καὶ ἀσύμβολον τὸν βίον τοῦτο τὸ στοιχεῖον
συνῆψε καὶ τέλειον ἐποίησε, διορθούμενον ταῖς παρ' ἀλλή-
λων ἐπικουρίαις καὶ ἀντιδόσεσι, κοινωνίαν δ' ἐργαζό-
μενον καὶ φιλίαν. Ἡράκλειτος (B 99) μὲν οὖν 'εἰ μὴ ἥλιος'
φησίν 'ἦν, εὐφρόνη ἂν ἦν·' ἔστι δ' εἰπεῖν, ὡς, εἰ μὴ
θάλαττα ἦν, πάντων ⟨ἂν⟩ ἀγριώτατον ζῷον καὶ ἐνδεέ-
στατον ὁ ἄνθρωπος ἦν. νυνὶ δὲ τοῦτο μὲν παρ' Ἰνδῶν
ἄμπελον τοῖς Ἕλλησιν, ἐκ δὲ τῆς Ἑλλάδος καρπῶν χρῆ-
σιν τοῖς ἐπέκεινα [ὁ] τῆς θαλάσσης ἔδωκεν, ἐκ Φοινίκης
δὲ γράμματα μνημόσυνα λήθης ἐκόμισε, καὶ ἄοινον καὶ B
ἄκαρπον καὶ ἀπαίδευτον ἐκώλυσεν εἶναι τὸ πλεῖστον
ἀνθρώπων γένος. πῶς οὖν οὐ χρησιμώτερον ὕδωρ στοι-
χείῳ περιττεῦον;

8. Ἢ πρὸς τοὐναντίον ἄν τις ἐντεῦθεν †ἔχων λέγοι,